
www.tezaurliturgic.ro



ΙΟΥΛΙΟΥ Γ΄
ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΥΑΚΙΝΘΟΥ ΤΟΥ ΚΟΥΒΙΚΟΥΛΑΡΙΟΥ

ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

℣ Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τῆς Καισαρείας τὸ ἄνθος, τὸ εὐωδέστατον, Ὑάκινθον τὸν θεῖον, εὐφημήσωμεν πάντες, ἐν ὕμνοις ἐγκωμίων χαρμονικῶς, πρὸς αὐτὸν ἀνακράζοντες· Θεομακάριστε Μάρτυς πάντων ἡμῶν, τῶν τιμώντων σε μνημόνευε.

Ὡς δυναμούμενος σθένει, τοῦ Θείου Πνεύματος, τοῦ δυνατοῦ ἐν πάσῃ, μισανθρώπῳ κακίᾳ, καθεῖλες τὰς ἐπάρσεις μαρτυρικῶς, διανύσας τὸν δρόμον σου· ὅθεν Ὑάκινθε εὗρες ἐν οὐρανοῖς, τὴν τρυφὴν τὴν ἀδαπάνητον.

Τὸν ἐκ Παρθένου δι' οἶκτον, ἐξανατείλαντα, Χριστὸν ὁμολογήσας, ἐναντίον τυράννων, ὑπήνεγκας βασάνους τὰς ἀλγεινάς, ἀνενδότως Ὑάκινθε, καὶ ἐν εἰρκτῇ ἐξεδήμησας πρὸς αὐτόν, λιμοθνὴς ἀειμακάριστε.

Μαρμαρυγαῖς ἀκηράτοις, καταλαμπόμενος, τοῦ Θείου Παρακλήτου, ἀπεκρούσω τῆς πλάνης, εἰδώλων τῶν ματαίων τὸν σκοτασμόν, θεομάκαρ Ὑάκινθε, καὶ φῶς ἀνέτειλας θεῖον τῇ τοῦ Χριστοῦ, Ἐκκλησίᾳ τῇ ἀθλήσει σου.

Δόξα Πατρί. ℣ Ἦχος β΄.

Δεῦτε σήμερον πιστῶς, οἱ ἐρασταὶ τῶν Μαρτύρων, Ὑάκινθον τὸν μάρτυρα ὑμνήσωμεν. Οὗτος γὰρ ὁ μακάριος, ἀθλητικὸν ἐνδυσάμενος φρόνημα, καὶ χάριτος οὐρανίου πλησθείς, δι' ἀμφοτέρων εἰς τέλος κατέβαλε, κόσμον καὶ κοσμοκράτορα. Ὅθεν ἱερονίκους στεφάνους, οὐρανόθεν κομισάμενος, τῷ Λυτρωτῇ ἐν ὑψίστοις παρέστη, πρεσβεύων ἐκτενῶς, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
℣ Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Τόλμαν ἀθλητικήν, λαμπρῶς ἐνδεδυμένος, Ὑάκινθε παμμάκαρ, τῆς πλάνης τῶν εἰδώλων, καθεῖλες τὰ σεβάσματα.

Στίχ. Θαυμαστὸς ὁ Θεός...

Πίστεως τοῦ Χριστοῦ, ὑπερκοσμίῳ ζέσει, κρυμὸν εἰδώλων πλάνης, διέλυσας ἀνδρείως, Ὑάκινθε μακάριε.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...

Πρέσβευε τῷ Χριστῷ, ὡς παῤῥησίαν ἔχων, ὑπὲρ τῶν εὐφημούντων, Ὑάκινθε παμμάκαρ, τοὺς ὑπὲρ φύσιν ἄθλους σου.

Δόξα Πατρί. Τριαδικόν.

Ἄναρχε Βασιλεῦ, Πάτερ Υἱὲ καὶ Πνεῦμα, ἡ ἄναρχος Θεότης, εὐχαῖς τοῦ Ὑακίνθου, τοὺς

www.tezaurliturgic.ro

δούλους σου ἐλέησον.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα τοῦ παντός, ὑπέραγνε Μαρία, ῥῦσαι ἡμᾶς εὐσπλάγχνως, πρεσβείαις σου ἁγίαις, ἐκ πάσης περιστάσεως.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

℟ Ἦχος πλ. δ΄. Τί ὑμᾶς καλέσωμεν Ἅγιοι.

Ὤφθης διαυγεία τοῦ Πνεύματος, ὥσπερ λίθος διαυγής, τῆς βασιλείας τοῦ Χριστοῦ, ἐναθλήσας ἀθλητά, ὑπὲρ τῆς πίστεως στερρῶς, καὶ τρέψας, τῶν ἀθέων τὴν παράταξιν, καὶ νίκην, κατ᾽ αὐτῶν Μάρτυς ἀράμενος· διό σε πίστει δοξάζομεν, ὡς στρατιώτην ἀήττητον. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κύματα τῆς πλάνης παρέδραμες, κυβερνώμενος Χριστοῦ, τῇ ἀηττήτῳ δεξιᾷ, καὶ λιμένι νοητῷ, ἐγκαθωρμίσθης ἀθλητά, γαλήνης, μή ληγούσης ἐμφορούμενος, καὶ δόξης, μή ῥεούσης ἀξιούμενος, μάρτυς θεόφρον Ὑάκινθε, διαπαντὸς εὐφραινόμενος. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Μέλεσιν οἰκείοις ἐδόξασας, τὸν ἀθάνατον Θεόν, θανατωθεὶς ὑπὲρ αὐτοῦ· ἀθανάτων δωρεῶν, ὅθεν σε μέτοχον σοφέ, δεικνύει, καὶ δοξάζει σε Ὑάκινθε, σημείοις, καὶ δυνάμεσιν ἑκάστοτε· καὶ γὰρ πηγὴ ἁγιάσματος, ἡ σὴ σορὸς πᾶσι πρόκειται. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Μάρτυς θεομάκαρ Ὑάκινθε, τὸν παγέντα ἐν Σταυρῷ, διὰ τὴν φύσιν τῶν βροτῶν, ἐπεπόθησας θερμῶς, Πνεύματι Θείῳ φωτισθείς, καὶ τούτου, ὡς ἐχέφρων μιμησάμενος, τὸ πάθος, ὑπὲρ ἄνθρωπον ἠρίστευσας, λιμῷ καὶ δίψει τὸν θάνατον, ἐν προθυμίᾳ δεξάμενος. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Μάρτυς θεοφόρε Ὑάκινθε, λαμπρυνόμενος Χριστοῦ, τῇ θείᾳ χάριτι σαφῶς, καὶ ῥωννύμενος Χριστοῦ, τῇ δυναστείᾳ κραταιῶς, τυράννων, τῆς μανίας κατεφρόνησας, βασάνων, ἐπωδύνων κατετόλμησας, καὶ λιμοθνὴς ἐξεδήμησας, πρὸς Παραδείσου σκηνώματα. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Μάρτυς καρτερόφρον Ὑάκινθε, ἔχων φρόνησιν Χριστοῦ, ἐπὶ τυράννων ἀνδρικῶς, ἀνεκήρυξας αὐτόν, Σωτῆρα πάντων καὶ Θεόν, καὶ πόνους, ὑπομείνας τῆς ἀθλήσεως, εἰδώλων, τὴν ἀπάτην κατελέπτυνας, καὶ εὐσεβείας ἐξέφηνας, πᾶσι τὴν ἄμαχον δύναμιν. Ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα Πατρί. ℟ Ἦχος πλ. β΄.

Δεῦτε πάντες οἱ πιστοί, χορείαν πνευματικὴν συστησάμενοι, τὴν ἐτήσιον τοῦ Ἀθλοφόρου μνήμην, ἐν κατανύξει ἐπιτελέσωμεν, καὶ τοῦτον τοῖς ᾄσμασιν εὐσεβῶς, ὡς ἄνθεσι ποικιλοχρόοις καταστέφοντες, ὁμοφρόνως ἀναβοήσωμεν· Χαίροις ὁ τὴν θεόφθογγον γλῶσσάν σου, τῶν τοῦ Θεοῦ λογίων πληρώσας, καὶ ἀποφράξας στόματα ἀσεβῶν, κατὰ τῆς εὐσεβείας ἐπαιρόμενα· χαίροις ὁ τὰ στίγματα τοῦ Χριστοῦ, ἐν τῇ σαρκί σου προθύμως βαστάσας, καὶ αὐτοῦ τὸ πάθος μιμησάμενος, λιμοθνὴς τελέσας τὸν δρόμον σου· χαίροις ὁ ἐν τραπέζῃ εὐκλεῶς, τῆς ἀθανάτου ζωῆς παριστάμενος, καὶ βασιλέως οὐρανίου χρηματίζων, θαλαμηπόλος νῦν οὐράνιος. Ἀλλ᾽ ὡς ἔχων παῤῥησίαν πρὸς Θεόν, Ὑάκινθε μάρτυς ἀήττητε, ὑπὲρ ἡμῶν ἐκτενῶς καθικέτευε, ἵνα ῥυσθῶμεν κινδύνων, καὶ χαλεπῶν περιστάσεων.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; Τίς μή ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα, ἃ ζήτει ἐν τῇ σελίδι 2 τοῦ παρόντος, ἐν τῇ μνήμῃ τοῦ ἁγίου μεγαλομάρτυρος Νικήτα.

www.tezaurliturgic.ro

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄.

Τὸν εὐκλεῆ ἀριστέα καὶ Μάρτυρα, τὸν ὑπὲρ τῆς εὐσεβείας ἀθλήσαντα, Ὑάκινθον ἐν ὕμνοις μακαρίσωμεν. Οὗτος γὰρ ὡς θεόσοφος, τυραννικοῦ καταφρονήσας προστάγματος, τοῖς εἰδώλοις τιμὴν οὐκ ἐνείματο, ἀλλὰ διαπρυσίῳ φωνῇ, τοῦ Χριστοῦ ἀνακηρύξας τὸ ὄνομα, λιμοθνὴς τῆς ὁμολογίας τὸν δρόμον ἐτέλεσε, καὶ εἰς θαλάμους τῆς ζωῆς, τῆς ἀκηράτου κατέπαυσε, χοροῖς Μαρτύρων συναριθμούμενος, καὶ χάριν ὡς ῥεῖθρον σωτήριον, ἀναπηγάζων τοῖς κραυγάζουσιν· Ὁ θαυμαστὸς ἐν τοῖς Ἁγίοις σου Μάρτυσι, παντοδύναμε Κύριε δόξα σοι.

Ἦχος β΄.

Δεῦτε πάντες οἱ πιστοί, Καππαδοκίας τὸ τίμιον βλάστημα, Ὑάκινθον ἐν ὕμνοις τιμήσωμεν· βασιλέως γὰρ γηΐνου τὰς τιμὰς παρωσάμενος, τὸν ὀνειδισμὸν τοῦ Κυρίου εὐσεβῶς, ἐν μέλεσιν οἰκείοις ἐβάστασε, καὶ ὡς θῦμα τέλειον προσηνέχθη, τῷ τυθέντι δι' ἡμᾶς ἐν Σταυρῷ, ἀπόσιτος ἐν εἱρκτῇ διανύσας, ὁμολογίας στεῤῥῶς τὸ ἀγώνισμα. Ὅθεν μαρτυρικῶς δαιτυμών, τῆς οὐρανίου τραπέζης γενόμενος, ὑπὲρ ἡμῶν ἀναφέρει δεήσεις, Θεῷ τῷ ἀθανάτῳ ἑστιάτορι, τῶν εὐλαβῶς ἐπιτελούντων, αὐτοῦ τὸ μνημόσυνον.

Ἦχος γ΄.

Λόγοις αἰνέσωμεν θείοις, ὡς ἀληθείας ὁπλίτην ἀχείρωτον, Ὑάκινθον τὸν ἔνδοξον, δαυϊτικῶς μελῳδοῦντες· Μακάριος εἶ Μάρτυς θεόφρον, ὅτι ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστης, οὐδὲ τὰς βουλὰς αὐτῶν ἐτήρησας· βασιλέως γὰρ γηΐνου τῆς εὐνοίας, τὸ ἀρέσκειν Θεῷ προελόμενος, τοῖς ἀψύχοις ξοάνοις οὐκ ἔθυσας, ἀλλ' ἐν ἀκορέστῳ διαθέσει, τοῦ μαρτυρίου τὸ ποτήριον ἔπιες, καὶ μιμητὴς ἀνεδείχθης, Χριστοῦ τοῦ βασιλέως ἡμῶν. Αὐτὸν οὖν ἐκτενῶς καθικέτευε, τὴν εἰρήνην τῷ κόσμῳ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἦχος δ΄.

Τῆς εὐσεβείας ὑάκινθος μυστικός, φερωνύμως Ἀθλητὰ ἀναδέδειξαι, εὐωδιάζων ὑπὲρ λόγον, τῆς τοῦ Χριστοῦ Ἐκκλησίας τὸ πλήρωμα· στήσας γὰρ τούς πόδας σου, ἐπὶ τὴν πέτραν τῆς πίστεως, οὐκ ἐσαλεύθης μηδαμῶς, τῶν ἀντικειμένων ταῖς προσρήξεσιν, ἀλλ' ἐν πᾶσι ἄσειστος ἐδείχθης, τὴν τῶν εἰδώλων ἀπάτην ὑποσκελίζων, καὶ ἐκμειῶν ἐν χάριτι παντελῶς, τῆς ἀσεβείας τὴν ἔπαρσιν, ὡς Μάρτυς ἀκατάπληκτος. Ὅθεν σήμερον οἱ πιστοί, τὴν μνήμην σου ἐπιτελοῦντες, σῆς χάριτος εὐωδίᾳ εὐφραινόμεθα, καὶ δοξάζομεν τὸν ἐν Τριάδι Θεόν, τὸν ἐν ὑψίστοις σε δοξάσαντα.

Δόξα Πατρί. Ἦχος πλ. α΄.

Μάρτυς θεόφρον Ὑάκινθε, τῆς πίστεως τὸν νόμον συντηρῶν, ἀνδρειότητι γνώμης ἀντέστης, θεομάχου βασιλέως τῷ δόγματι· ὅθεν ἀπειλαῖς καταιγιζόμενος, δριμυτάτοις τε βασάνοις χειμαζόμενος, καὶ λιμῷ σύν δίψει θανατούμενος, τὴν μακαρίαν τῷ Δεσπότῃ ἐβόας φωνήν· Γενέσθω δὴ οὐράνιε Βασιλεῦ, εὐπρόσδεκτος ἡ θυσία μου ἐνώπιον σου, ὅτι τὸν θάνατον διὰ σέ, οὐ θάνατον λογίζομαι, ἀλλὰ ζωῆς αἰωνίου ἀπαρχήν, καὶ εὐφροσύνης ἀλήκτου πρόξενον· ὁ πόθος σου τιτρώσκει με, καὶ τῆς τραπέζης σου ὀρέγομαι, ἣν ἑνώπιον μου ἡτοίμασας, ἐξ ἐναντίας τῶν θλιβόντων με. Ἀλλ' ὡς ἔχων παῤῥησίαν πρὸς αὐτόν, Ἀθλοφόρε ἀπαύστως ἱκέτευε, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς ὑάκινθος εὔοσμος, εὐσεβείας Ὑάκινθε, μαρτυρίου ἔπνευσας ἀγωνίσμασι, τὴν εὐωδίαν τοῦ Πνεύματος, μυρίζων ἐν χάριτι, τὰς καρδίας τῶν πιστῶν, ἐν ᾠδαῖς εὐφημούντων σε, καὶ τὴν εὔσημον, ἐκτελούντων σου μνήμην θεομάκαρ, ἣν ἐδόξασε τῆς δόξης, ὁ ὑπεράγαθος Κύριος.

Στίχ. Θαυμαστὸς ὁ Θεός...

Ἀναφθεὶς θείου ἔρωτος, τῷ πυρὶ τὴν καρδίαν σου, τῶν ἀθέων ἤλεγξας τὴν αὐθάδειαν, καὶ βασιλέως ἐπάτησας, τὸ δόγμα τὸ ἄθεσμον, καὶ ἐκήρυξας Χριστόν, βασιλέα αἰώνιον, ᾧ παρέστηκας, ἐν ὑψίστοις ὡς Μάρτυς στεφηφόρος, μαρτυρίου ἐκτελέσας, καλῶς τὸν δρόμον Ὑάκινθε.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...

www.tezaurliturgic.ro

Τῇ τραπέζῃ παρίστασαι, τῆς ζωῆς εὐφραινόμενος, σὺν Μαρτύρων ἔνδοξε τοῖς στρατεύμασι, θαλαμηπόλος οὐράνιος, παμμάκαρ Ὑάκινθε, χρηματίζων τοῦ Θεοῦ, καὶ Δεσπότου τῆς κτίσεως, ὃν ἱκέτευε, δωρηθῆναι τὸν κόσμον τὴν εἰρήνην, καὶ ἡμῖν τοῖς ὑμνηταῖς σου, παραπτωμάτων τὴν ἄφεσιν.

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Τῆς Καππαδόκων χώρας, τὸ ἀρίζηλον καύχημα τιμῶμέν σε, ὡς τιμήσαντα τὴν ἄμωμον πίστιν, Ὑάκινθε τοῦ Σωτῆρος Χριστοῦ· ἐν τῷ πελάγει γὰρ ἀσφαλῶς, τῆς τῶν εἰδώλων δεινῆς τρικυμίας, διαμείνας ἀπόντιστος, ἐν αὐτῷ τὴν ἀθεΐαν κατεπόντισας, καὶ εἰς λιμένα εὔδιον κατήντησας, γαλήνης μαρτυρικῆς καταξιούμενος. Ὅθεν γαληνοδώροις σου εὐχαῖς, ἐν τῶν παθῶν τῇ τρικυμίᾳ διαφύλαξον, τούς καταφεύγοντας τῇ ἀντιλήψει σου πιστῶς, καὶ τὴν φωσφόρον σου μνήμην, ἐν κατανύξει ἑορτάζοντας.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Εὐσεβείας ὑπάρχων, φερωνύμως ὑάκινθος, χάριτος τῷ κόσμῳ τὴν θείαν, εὐωδίαν διέπνευσας· τιμὰς γὰρ παρωσάμενος φθαρτάς, οὐκ ἔνειμας θυσίαν τοῖς γλυπτοῖς, καὶ ἀπόσιτος τὸν δρόμον, τοῦ μαρτυρίου διήνυσας. Δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ χορηγοῦντι διὰ σοῦ, πᾶσι τὰ κρείττονα.

Ἕτερον. Ἦχος γ΄. Θείας πίστεως.

Ὡς ὑάκινθος, τῆς εὐσεβείας, κατεκόσμησας, τῆς Ἐκκλησίας, ὦ Ὑάκινθε μάρτυς τὸν στέφανον· σὺ γὰρ σὸν βίον ἀπόσιτος ἤνυσας, καταφρονήσας ἀθέου προστάγματος. Ὅθεν πρέσβευε, Χριστῷ τῷ Θεῷ πανεύφημε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον τοῦ ἤχου καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου.

Φωτὶ τῷ θεϊκῷ, ἐν ὑψίστοις παρέστης, ἐργάτης τοῦ φωτός, ἐπὶ γῆς χρηματίσας, καὶ Μάρτυς ἀπαράτρεπτος, τοῦ Δεσπότου τῆς κτίσεως· ὃν ἱκέτευε, ἐν παῤῥησίᾳ ἀπαύστως, τοῖς τιμῶσί σε, πταισμάτων δοῦναι τὴν λύσιν, παμμάκαρ Ὑάκινθε.

Δόξα Πατρί. Ὅμοιον.

Ῥεόντων τὴν φοράν, νουνεχῶς ἀπεκρούσω, καὶ κόσμου τὰς τρυφάς, ὁλοτρόπως ἀπώσω, μακάριε Ὑάκινθε, ὡς Χριστοῦ φίλος γνήσιος, καὶ ἐνήθλησας, λιμῷ καὶ δίψει ἀνδρείως· ὅθεν μέτοχος, τῆς οὐρανίου τραπέζης, ἐν χάριτι γέγονας.

Καὶ νῦν. Θεοτοκίον.

Ὃν ἐν τοῦ Πατρός, πρὸ αἰώνων τοῖς κόλποις, ἐσκήνωσεν ἐν σοί, Θεομῆτορ ἐν χρόνῳ, καὶ ἅπαντας κατήλλαξε, τῷ Πατρὶ ὡς φιλάνθρωπος, πάθος τίμιον, ὁ ἀπαθὴς ὑπομείνας, καὶ τριήμερος, ἐξαναστὰς ἐκ τοῦ τάφου· διὸ εὐφημοῦμέν σε.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἡτοίμασας τράπεζαν, τῆς μαρτυρίας λαμπράν, καὶ οἶνον ἐκέρασας, τῆς εὐσεβείας πιστοῖς, τὸν ὄντως γλυκύτατον· σὺ γὰρ τοῦ οὐρανίου, Βασιλέως τῆς δόξης, ὤφθης θαλαμηπόλος, ὦ Ὑάκινθε θεῖος· διό σε εὐφημοῦμεν, τελοῦντες τὴν μνήμην σου.

Δόξα Πατρί. Ὅμοιον.

Πυρὶ ἀναπτόμενος, τῆς τοῦ Δεσπότου στοργῆς, τελείως κατέκαυσας, τὴν τῶν εἰδώλων δεινήν, ἀσέβειαν ἔνδοξε· ὅθεν τοῦ Παρακλήτου, ἐδροσίσθης τῇ δρόσῳ, πάντας καταδροσίζων, τῇ πολλῇ χάριτί σου, τούς πόθῳ σε ὑμνοῦντας, ἐν ὕμνοις Ὑάκινθε.

Καὶ νῦν. Θεοτοκίον.

Ὠδὴν χαριστήριον, προσεποφίλει ἀεί, τὸ βρότειον γένος σοι, τῆς καταδίκης ῥυσθέν, Ἀδὰμ τῇ λοχείᾳ σου· σὺ γὰρ Πατρὸς τὸν Λόγον, ἀπειράνδρως τεκοῦσα, χάριν ἀθανασίας, ἐδωρήσω τῷ κόσμῳ· διό σοι ἐκβοῶμεν, τὸ Χαῖρε γηθόμενοι.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Γεωργίᾳ κρείττονι, τοῦ μαρτυρίου, μυστικῶς ἐξήνθησας, οἷα ὑάκινθος τερπνός, εὐωδιάζων

www.tezaurliturgic.ro

Ὑάκινθε, τῇ χάριτί σου, πιστῶν τὰ πληρώματα.

Δόξα Πατρί. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὸν ἑστιάτορα, ζωῆς τῆς κρείττονος, Χριστὸν ἐδόξασας, μάρτυς Ὑάκινθε, ἐπιτελέσας λιμοθνής, τὸν δρόμον τοῦ μαρτυρίου· ὅθεν δαιτυμόνα σε, ἡ οὐράνιος τράπεζα, ἔνδοξε ἐκτήσατο, σὺν Μαρτύρων τοῖς τάγμασιν, ἀεὶ τῆς ἀμβροσίας τρυφῶντα, τῶν ὑπὲρ φύσιν δωρημάτων.

Καὶ νῦν. Θεοτοκίον.

Θεομακάριστε, ἁγνὴ Μητρόθεε, νύμφη ἀνύμφευτε, καὶ ἀπειρόγαμε, Μαρία Μῆτερ τῆς ζωῆς, Παρθένε εὐλογημένη, πάσης περιστάσεως, νοσημάτων κινδύνων τε, θλίψεων κακώσεων, πειρασμῶν καὶ στενώσεων, καὶ μήνιδος ἐχθροῦ τῆς κακίστης, ῥῦσαι τοὺς πίστει σε τιμῶντας.

Οἱ Ἀναβαθμοί, ἤτοι· τὸ α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.
Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Εὐαγγέλιον, ζήτει τῇ κγ΄ Ἀπριλίου.

Ὁ Ν΄. Δόξα Πατρί. Ταῖς τοῦ Ἀθλοφόρου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου...

Σήμερον οἱ πιστοὶ συναθροισθέντες, πνευματικῶς τὴν μνήμην σου ἑορτάζομεν, Ὑάκινθε μάρτυς σοφέ, ὅτι ὡς ὑάκινθος ὑπάρχων, φερωνύμως τῆς πίστεως, τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, τῆς εὐωδίας τῆς χάριτός σου, θεομακάριστε ἔπλησας· ἀνδρείως γὰρ ἤθλησας, καὶ τὰς δυσώδεις τῆς ἀσεβείας πηγάς, τῷ αἵματί σου ἐξήρανας. Διὸ πρέσβευε ὑπὲρ ἡμῶν, ἵνα λυτρωθῶμεν πάσης ὀργῆς, καὶ τοῦ πυρὸς τῆς κολάσεως.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· ὁ Κανὼν τῆς Θεοτόκου καὶ οἱ Κανόνες τοῦ Ἁγίου. Κανὼν πρῶτος τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχίς. «Σὲ τὸν διαυγῆ, Μάρτυς, αἰνέσω λίθον». Ποίημα Θεοφάνους.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Σὲ τὸν διαυγείᾳ μαρτυρικῇ, πολύτιμον λίθον, γεγονότα θείου ναοῦ, νῦν ἐπικαλοῦμαι συνεργάτην, τῶν σῶν ἐπαίνων ὦ Μάρτυς γενέσθαι μοι.

Ἐπίγειον δόξαν καταλιπών, οὐράνιον κλέος, ἐκληρώσω διηνεκῶς, συνὼν τῷ Δεσπότῃ τῶν ἁπάντων, στεφανηφόρος Ὑάκινθε ἔνδοξε.

Τὸ τῆς ἡλικίας νεανικόν, καὶ τῆς διανοίας, τὸ γενναῖον ὑπὲρ Χριστοῦ, ἀπέδειξας Μάρτυς ἀθλοφόρε, κατὰ τῆς πλάνης στερρῶς ἀνδρισάμενος.

Θεοτοκίον.

Ὁ πάντων τῶν ὄντων Δημιουργός, διὰ σωτηρίαν, τῶν ἀνθρώπων ἐν σῇ γαστρί, σκηνώσας σαρκοῦται Θεομῆτορ, τὸ καθ' ἡμᾶς δημιουργούμενος.

Κανὼν δεύτερος τοῦ Ἁγίου, φέρων Ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις τήνδε· «Κυρίλλου».

Ἦχος πλ. α΄. Τῷ Σωτῆρι Θεῷ.

Ἀθλοφόρε Χριστοῦ, ἐν τοῖς ὑψίστοις φωτί, τῷ ἀνεσπέρῳ αὐγαζόμενος, φῶς μοι ἐξαίτει τῷ νοΐ ὡς ἂν ὑμνήσω σου, τὴν μνήμην σήμερον, ἐν ᾄσμασιν Ὑάκινθε.

Τῷ Σωτῆρι Χριστῷ, ἀκολουθήσας θερμῶς, αὐτοῦ τὸ πάθος ὦ Ὑάκινθε, ἐν καρτερίᾳ ἀῤῥαγεῖ ἀνεζωγράφησας, καὶ ὤφθης γνήσιος, υἱὸς τῆς Ἀναστάσεως.

Βασιλεῖ ἀσεβεῖ, μὴ πειθαρχήσας σοφέ, πικρῶν μαστίγων πεῖραν ἔλαβες, καὶ λιμοθνὴς ἐν τῇ εἱρκτῇ τῆς μαρτυρίας σου, καλῶς διήνυσας, τὸν δρόμον ὦ Ὑάκινθε.

Θεοτοκίον.

Καταιγίς με Ἀγνή, τῶν ἀκαθέκτων παθῶν, δεινῶς χειμάζει τὸν ταλαίπωρον, καὶ ἀπωλείας εἰς βυθὸν καταποντίζομαι· Παρθένε σῶσόν με, ἁγίᾳ ἀντιλήψει σου.

Κανὼν πρῶτος. Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

Νέος καθιστάμενος, πρεσβυτικὴν σαφῶς φρόνησιν, Μάρτυς Χριστοῦ ὤφθης κεκτημένος, καὶ συνέσει κοσμούμενος.

Δρόμον συντονώτατον, ἀθλητικῶς δραμὼν ἔφθασας, μαρτυρικῶς ἀνδραγαθημάτων, τὴν τιμίαν ἀνάῤῥησιν.

Θεοτοκίον.

Ἴθυνον πρεσβείαις σου, πρὸς τὴν οὐράνιον ἄνοδον, τοὺς εὐσεβῶς κεχαριτωμένη, Θεοτόκον

www.tezaurliturgic.ro

φρονοῦντάς σε.

Κανὼν δεύτερος. Δυνάμει τοῦ Σταυροῦ.

Ὑφάνας μαρτυρίου σαυτῷ, λαμπρὸν Ὑάκινθε ἱμάτιον, ἐν ταῖς Ἁγίων λαμπρότησι, μετὰ δόξης εἰσελήλυθας.

Τὴν πέτραν οὐκ ἠρνήσω Χριστόν, θεομακάριστε Ὑάκινθε, καὶ θείᾳ πέτρᾳ τῶν ἄθλων σου, τὴν ἀσέβειαν συνέτριψας.

Ὑπέστης διανοίᾳ στερρᾷ, τοῦ μαρτυρίου τὰ ἐπώδυνα, ἀναψυχὴν προσδεχόμενος, τὴν ἀείζωον Ὑάκινθε.

Θεοτοκίον.

Ὑμνοῦμέν σε Παρθένε πιστῶς, τὴν ὑπερτέραν πάσης κτίσεως, τὴν τὸν Θεὸν σωματώσασαν, εἰς ἀνθρώπων ἀπολύτρωσιν.

Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Λόγοις ἔλαμψας, ὁμολογίας, ἄθλοις ἤστραψας, τῆς μαρτυρίας, ὑπὲρ ἥλιον μάρτυς Ὑάκινθε, τῆς ἀσεβείας ἐλαύνων τὴν ζόφωσιν, καὶ ἀνατέλλων τὸ φέγγος τῆς πίστεως. Ὅθεν ἅπαντες, ἐν ὕμνοις πιστῶς ὑμνοῦμέν σε, δοξάζοντες Χριστὸν τὸν σὲ δοξάσαντα.

Δόξα Πατρί. Ὅμοιον.

Λίθος τίμιος, τῆς Ἐκκλησίας, φυλαττόμενος, ἐν τοῖς ταμείοις, τοῖς οὐρανίοις ὑπάρχων Ὑάκινθε, τοὺς προσκυνοῦντας τοὺς λίθους διήλεγξας, καὶ μαρτυρίου ποτήριον ἔπιες. Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Θεία γέγονας, σκηνὴ τοῦ Λόγου, μόνη πάναγνε, Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα· τὸν ὑπὲρ πάντας ἐμὲ γοῦν γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον, πρεσβειῶν σου ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

Κανὼν πρῶτος. Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ἀθλητὴς ἐννομώτατος, πόνοις εὐσεβείας ἐγγυμνασάμενος, ἀναδέδειξαι πανόλβιε, τῶν τυράννων θράσος μὴ πτοούμενος.

Ὑακίνθινον στέφανον, οὐρανοβαφῆ θεόφρον δεξάμενος, συγχορεύειν κατηξίωσαι, τοῖς ἐπουρανίοις ὡς οὐράνιος.

Γεγηθότι φρονήματι, τὸν τῆς εὐσεβείας λόγον ἐκήρυξας, καὶ τὸν τύραννον διήλεγξας, ἀπτοήτῳ γνώμῃ δυναμούμενος.

Θεοτοκίον.

Ἣ Θεὸν Παντοκράτορα, μόνη δεξαμένη Θεομακάριστε, ἀπὸ πάσης περιστάσεως, καὶ κινδύνων ῥῦσαι τοὺς ὑμνοῦντάς σε.

Κανὼν δεύτερος. Ἀκήκοα Κύριε.

Ἰσχύι Ὑάκινθε τῆς εὐσεβείας, τῆς ἀσεβείας, τὰς ὑψώματα ἀνδρείως κατέβαλες, καὶ Χριστοῦ ἐδείχθης, μάρτυς στερέμνιος.

Νομίμως ἐνήθλησας Χριστοῦ τῷ πόθῳ, καὶ τῶν ἀνόμων, τὴν αὐθάδειαν κατῄσχυνας τέλεον, ἀθλοφόρε μάρτυς, θεῖε Ὑάκινθε.

Τὰ στίγματα ἤνεγκας ἐν τῇ σαρκί σου, τοῦ Ζωοδότου, ὡς αὐτοῦ Σταυρῷ τῷ θείῳ καυχώμενος, καὶ Μαρτύρων κόσμος, ὤφθης Ὑάκινθε.

Θεοτοκίον.

Ῥοαῖς τοῦ ἐλέους σου, εὐλογημένη, σεμνὴ Παρθένε, τὴν καρδίαν μου ἀφθόνως κατάρδευσον· ἀεὶ γὰρ δοξάζω, πίστει τὸν τόκον σου.

Κανὼν πρῶτος. Ὠδὴ ε΄. Ὀρθρίζοντες βοῶμέν σοι.

Μαινόμενον τὸν τύραννον ἤλεγξας, Ἀθλοφόρε, δύναμιν ἀήττητον, παρὰ Χριστοῦ ἐνδυσάμενος.

Ἀθάνατον ἐκτήσω τὴν εὔκλειαν, στεφηφόρε, θάνατον ἑκούσιον, διὰ Χριστὸν προσηκάμενος.

Θεοτοκίον.

Ῥυσθείημεν πρεσβείαις σου Πάναγνε, τῶν παγίδων, τοῦ ἐχθροῦ οἱ σέβοντες, τὴν ὑπὲρ λόγον σου γέννησιν.

Κανὼν δεύτερος. Ὀρθρίζοντές βοῶμέν σοι.

Ἀήττητον κτησάμενος φρόνημα, μάρτυς Χριστοῦ, μαστίγων ἐν ταῖς πληγαῖς, εὑρέθης λίθος στερέμνιος.

Ὑάκινθος ἐξήνθησας πίστεως, ἀθλητικῶς, εὐφραίνων θείαις ὀσμαῖς, ὦ Μάρτυς τοὺς εὐφημοῦντάς σε.

www.tezaurliturgic.ro

Ἀ᾽πόσιτος τὸν θάνατον Ἅγιε, ὑπενεγκών, τρυφᾶς τοῦ Θεοῦ ἀεί, τῆς θείας ἀγαλλιάσεως.

Θεοτοκίον.

Ἱλέωσαι πανάχραντε Δέσποινα, τὸν σὸν Υἱόν, ἵνα τύχωμεν ζωῆς, τῆς αἰωνίου οἱ δοῦλοί σου.

Κανὼν πρῶτος. ὨΙδὴ στ΄. Ἰλάσθητί μοι Σωτήρ.

Ταῖς στρέβλαις τῶν ἀσεβῶν, ὁ Μάρτυς πάσχων ἠγάλλετο, καὶ πάθει τοῦ ἀπαθοῦς, τὸν νοῦν κραταιούμενος, ἐνίκα τοὺς ἄφρονας, πρὸς τὸν ἀθλοθέτην, ἀνενδότως ἐπειγόμενος.

Υἱάκινθος ὡς φαιδρός, σκηνὴν τὴν θείαν ἐφαίδρυνας, ὡς κόκκινον ἐκλεκτόν, ἀθλήσεως αἵματι, ἀνάθημα γέγονας, τῆς τῶν πρωτοτόκων, Ἐκκλησίας παναοίδιμε.

Θεοτοκίον.

Σωθείημεν διὰ σοῦ, κινδύνων καὶ περιστάσεων, Θεογεννῆτορ ἁγνή, καὶ τύχοιμεν πάναγνε, τῆς θείας ἐλλάμψεως, τοῦ ἐκ σοῦ ἀφράστως, σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ.

Κανὼν δεύτερος. Μαινομένην κλύδωνι.

Θαυμαστὲ Ὑάκινθε, χαῖρε Μάρτυς ἔνδοξε Χριστοῦ, τῶν Μαρτύρων καύχημα σεβάσμιον, δόξα πιστῶν καὶ ἀσθενούντων ἀντίληψις.

Κραταιῶς Ὑάκινθε, ἀντιθέους ἔῤῥηξας πλοκάς, τῶν τυράννων σκάμμασι ἀθλήσεως· διὸ πιστῶς δοξάζομέν σε ἀοίδιμε.

Ἐ᾽ν νυκτὶ ἀνέτειλας, τῆς ἀπάτης ἥλιος φαιδρός, καταυγάζων ἔνδοξε Ὑάκινθε, πλησιφαῶς, τῆς Ἐκκλησίας τὸ πλήρωμα.

Θεοτοκίον.

Λογισμῶν μου κλύδωνα, τῇ γαλήνῃ τῶν σῶν προσευχῶν, Παναγία Δέσποινα κατεύνασον, καὶ τῷ Θεῷ, οἰκείωσόν με ὡς εὔσπλαγχνος.

Κοντάκιον. Ἦχος πλ. β΄. Ἰδιόμελον.

Τὸ ξύλον τῆς ζωῆς, ἐν μέσῳ τῆς ψυχῆς αὐτοῦ, τὴν πίστιν σου Χριστέ, κεκτημένος ὁ Μάρτυς σου, τοῦ Παραδείσου τῆς Ἐδὲμ τιμιώτερος γέγονε· τὸ γὰρ δένδρον τῆς ἀπάτης τοῦ ὄφεως ἀφανίσας, παῤῥησίᾳ τοῦ Πνεύματος ἐστεφανώθη, τῇ δόξῃ σου Πολυέλεε.

Ὁ Οἶκος.

Ὑπὲρ πολλοὺς ὑμνήσωμεν Μάρτυρας, τὸν τῆς πόλεως ἡμῶν προϊστάμενον· ὃς τὴν πόλιν ἡμῶν ὡς γυμνάσιον, τῆς ἰδίας φυλάττων ἀθλήσεως, ὡς παῤῥησίαν ὁπλισάμενος, καὶ τὸν πέλεκυν ἔχων τῆς ἀληθείας, δι᾽ ἧς ἀπέτεμε τὸ τῆς πλάνης φυτόν, συναγείρει καὶ ἡμᾶς, πρὸς ἐργασίαν τῶν καλῶν. Ἐκβοῶμεν οὖν σὺν αὐτῷ τῷ Χριστῷ· Σὺ εἶ μόνος Χριστὲ πολυέλεος.

Μηνολόγιον.

Τῇ Γ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ἁγίου μάρτυρος Ὑακίνθου τοῦ Κουβικουλαρίου (θαλαμηπόλου).

Στίχοι.

Ἐξ ἀρετῆς μὲν Ὑάκινθος ὡς λίθος,
Λαμπρὸς πλέον δὲ ἐκ ῥοῆς τῶν αἱμάτων.

Οὐλομένῳ τριτάτῃ Ὑάκινθος κάτθανε λιμῷ.

Συναξάριον.

Οὗτος, ἐκ Καισαρείας τῆς πρώτης τῶν Καππαδοκῶν τυγχάνων, τῇ τραπέζῃ τοῦ βασιλέως Τραϊανοῦ ὑπηρετῶν ἦν. Διαβληθεὶς δὲ ὡς χριστιανός, τύπτεται καθ᾽ ὅλου τοῦ σώματος καὶ φρουρᾷ βάλλεται· ἔνθα μεθ᾽ ἡμέρας ἀπόσιτος τυγχάνων, τῷ Θεῷ τὸ πνεῦμα παρέθετο.

Ταῖς αὐτοῦ πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Κανὼν πρῶτος. ὨΙδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Αὐτοκράτορα φέρων, τῶν παθῶν ἀριδήλως, τὸν εὐσεβῆ λογισμόν, τροφὴν τῶν παρανόμων, κατέπτυσας παμμάκαρ, θείῳ λόγῳ τρεφόμενος· ὁ τῶν Πατέρων βοῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἱερώτατον θῦμα, σεαυτὸν τῷ Κυρίῳ, καὶ ἁγιώτατον, προσήνεγκας θεόφρον, ψυχῆς εἰλικρινείᾳ, καὶ νοὸς καθαρότητι· ὁ τῶν Πατέρων βοῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Νεμομένης τὸ γένος, τῶν ἀνθρώπων Παρθένε, τῆς τοῦ θανάτου φθορᾶς, πηγὴν ἀθανασίας, καὶ ζωῆς ἀκηράτου, συλλαβοῦσα κατέπαυσας, τὸν τῶν Πατέρων Θεόν, ἁγνὴ εὐλογημένη.

Κανὼν δεύτερος. Ὁ ἐν καμίνῳ πυρός.

Ὡς μυστικὴν τῷ Θεῷ, σαυτὸν θυσίαν ἀνενέγκας, ἀντεδοξάσθης λαμπρῶς, ἐν ταῖς σκηναῖς τῆς ζωῆς.

Μαρτυρικῶς ἐπαρθείς, πρὸς τὸν Δεσπότην Ἀθλοφόρε, συμβασιλεύεις αὐτῷ, ὡς Βασιλεῖ τοῦ παντός.

www.tezaurliturgic.ro

Ὡς παῤῥησίαν πλουτῶν, ἀεὶ δυσώπει Ἀθλοφόρε, ἵνα ῥυσθῶμεν ἡμεῖς, τοῦ τῆς γεέννης πυρός.

Θεοτοκίον.

Λελαμπρυσμένη φωτός, τῇ νοητῇ φωτοχυσίᾳ, φώτισον Μῆτερ κἀμοῦ, τὸ ὀπτικὸν τῆς ψυχῆς.

Κανὼν πρῶτος. Ἦχος δ΄. Ἑπταπλασίως κάμινον.

Ἐκ χαλεπῆς στενώσεως, καὶ φρουρᾶς πρὸς εὐρύχωρον, πλάτος Παραδείσου, καὶ τερπνὸν κατήντησας, Ἁγίων ὀψόμενος, φωτοειδεῖς λαμπρότητας, καὶ τὰς τῶν Ἀγγέλων, ἐποπτεύσων χορείας, Θεῷ παρισταμένας, καὶ βοώσας ἀπαύστως· Λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Σὺ τὸν Θεὸν ἠγάπησας, ἐκ ψυχῆς μέχρις αἵματος, πρὸς τὴν ἁμαρτίαν, Ἀθλητὰ μακάριε, ἀντικαθιστάμενος, καὶ δυσμενεῖς τρεπόμενος, καὶ νικητικοῖς, κεκοσμημένος στεφάνοις, προθύμως ἀνακράζεις· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὡς εὐπρεπὲς ἀνάθημα, διαυγὴς ὡς ὑάκινθος, ὡς ὡραιοτάτη, ἀλουργὶς ἐκόσμησας, ναὸν τὸν οὐράνιον, τὰ τῶν Ἁγίων Ἅγια, ταῖς μαρτυρικαῖς, μαρμαρυγαῖς ὡραΐσας, ἀπαύστως ἀνακράζων· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Λόγον Θεοῦ τὸν ἄναρχον, ὑπὲρ λόγον γεγέννηκας, ἐπὶ λογικῆς, εὐεργεσίᾳ φύσεως, δι' οὗ ἐλυτρώθημεν, φθοροποιοῦ νεκρώσεως, καὶ ζωοποιόν, ὑπεδεξάμεθα Πνεῦμα· διό σε Θεοτόκον, ἀληθῶς καὶ κυρίως, δοξάζομεν Παρθένε, εἰς πάντας τοὺς αἰῶνας.

Κανὼν δεύτερος. Σοὶ τῷ παντουργῷ.

Λίθος ἐκλεκτός, τῆς εὐσεβείας ὤφθης, παμμάκαρ Ὑάκινθε, ἀθλήσας ἄριστα, καὶ τοὺς τιμῶντας, τοὺς λίθους ἀσυνέτως, ᾔσχυνας εἰς τέλος· διὸ ἐθαυμαστώθης.

Ψυχὴν νευρωθείς, τοῦ Παρακλήτου ῥώμῃ, τυράννου Ὑάκινθε, τὸ δόγμα ἔθραυσας· ὅθεν μαστίγων, ὑπέστης τὰς ὀδύνας, καὶ λιμῷ σὺν δίψει, πικρῶς ἐθανατώθης.

Σὲ τὸ εὐθαλές, Καππαδοκίας ἄνθος, ὑμνοῦντες βοῶμέν σοι, κλεινὲ Ὑάκινθε· Χαῖρε ὁ Μάρτυς, Χριστοῦ τοῦ ἀθλοθέτου, ὁ στήλας εἰδώλων, δι' ἄθλων καταῤῥάξας.

Θεοτοκίον.

Ὁ ὑπερφυῶς, ἐκ σῶν σεπτῶν αἱμάτων, γενόμενος ἄνθρωπος, Θεοχαρίτωτε, ἔσωσε πάντας, τοὺς σὲ ὑμνολογοῦντας, ὡς ἁγνὴν Παρθένον, καὶ μόνην Θεοτόκον.

Κανὼν πρῶτος. Ἦχος θ΄. Σὲ τὴν ἀπειρόγαμον.

Ἵλεων ἀπέργασαι, ταῖς σαῖς πρεσβείαις τὸν Δεσπότην, πᾶσι τοῖς πιστῶς ὑμνοῦσί σου, τὴν ἀνίκητον ἄθλησιν· δι' ἧς τῶν εἰδώλων τὴν ἀπάτην, κατήργησας τὸν δὲ λόγον, τῆς ἀληθείας διετράνωσας.

Θέαμα τερπνότατον, ταῖς τῶν Ἀγγέλων στρατηγίαις, οὐρανοβαφὴς Ὑάκινθε, κεχρωσμένος ἐν αἵματι, τῆς ὑπὲρ Χριστοῦ ὁμολογίας, καὶ πίστεως καὶ στεφάνῳ, μαρτυρικῷ κατακοσμούμενος.

Ὅλος ἐχρημάτισας, Θεοῦ πανίερον δοχεῖον· σῶμα γὰρ καὶ ψυχὴν ἡγίασεν, ἡ ἀνένδοτος ἔνστασις, πρὸς τυραννικὴν παραφοράν, καὶ παράνοιαν γενομένη· διό σε πάντες μακαρίζομεν.

Θεοτοκίον.

Νέκρωσόν μου Δέσποινα, τὴν ἔτι ζῶσαν ἁμαρτίαν· ζώωσον ψυχῆς τὴν νέκρωσιν, ἐνεργείᾳ τῆς ὄντως ζωῆς, τῆς γεγεννημένης ἐκ γαστρός σου, δι' ἄφατον εὐσπλαγχνίαν, τοῖς εὐσεβῶς σε μεγαλύνουσι.

Κανὼν δεύτερος. Σὲ τὴν ὑπὲρ νοῦν.

Ἀθλοφορικοὺς στεφάνους, χειρὶ τοῦ Θεοῦ, ἐκομίσω Ὑάκινθε, ἀθλήσας ὡς ἄσαρκος· διὸ πάντες ἐν ὕμνοις εὐφημοῦμέν σε.

Ὁ τὸν Ἀθλητὴν ὁπλίσας, Χριστὲ ὁ Θεός, δι' αὐτοῦ ἡμᾶς λύτρωσαι, κινδύνων τε θλίψεων, καὶ δεινῶν ἐν τῷ βίῳ περιστάσεων.

Ὡς τοῦ μυστικοῦ κρατῆρος, τῆς θείας ζωῆς, μαρτυρίῳ γευσάμενος, παμμάκαρ Ὑάκινθε, συμπαθῶς ἡμῖν αἴτει χάριν ἄνωθεν.

Θεοτοκίον.

Ὕψωσας Ἁγνὴ τὴν φύσιν, ἡμῶν ἀληθῶς, ἀπειράνδρως τὸν ὕψιστον, Θεὸν σωματώσασα· διό σε ὀρθοδόξως μεγαλύνομεν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ὁμολογήσας ἔνδοξε, τὸν Χριστὸν παῤῥησίᾳ, μαστίγων καθυπέμεινας, τὰς σφοδρὰς ἀλγη-

www.tezaurliturgic.ro

δόνας, καὶ ἐν εἱρκτῇ κατεκλείσθης, ἔνθα χαίρων τὸν δρόμον, ἀπόσιτος ἐτέλεσας, τοῦ σεπτοῦ μαρτυρίου· ὅθεν ζωῆς, εὗρες εἰς κατοίκησιν τοὺς θαλάμους, Ὑάκινθε μακάριε, τῶν Μαρτύρων ἀκρότης.

Ἕτερον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τὸ ὑακίνθινον στέφος, ἀπέδωκέ σοι ὁ Χριστός, Ὑάκινθε θείας δόξης, ὅτι ἐνήθλησας στερρῶς, μετὰ δριμείας βασάνους, λιμῷ πικρῷ τε καὶ δίψει.

Θεοτοκίον.

Χαῖρε παράδεισε θεῖε, ἐν ᾧ τὸ ξύλον τῆς ζωῆς· χαῖρε ὁ λίθος Παρθένε, ἐξ οὗ ἡ πέτρα ὁ Χριστός, ἐτμήθη τὴν ἁμαρτίαν, συντρίβων τοῦ πρωτοπλάστου.

ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ΄. Ὦ τοῦ παραδόξου θαύματος.

Μάρτυς θεόφρον Ὑάκινθε, ἐν τοῦ Κυρίου σαφῶς, τῷ ἁγίῳ θελήματι, τὴν ζωήν σου ἅπασαν, εὐσεβῶς ἀναθέμενος, τοῦ βασιλέως οὐκ ἐδειλίασας, τοῦ ἐπιγείου θυμὸν τὸν ἄλογον, ἀλλ' ἀνεκήρυξας, τοῦ Χριστοῦ τὸν ὄνομα περιχαρῶς, ὑπὲρ οὗ καὶ ἤθλησας, καθάπερ ἄσαρκος.

Μάρτυς θεόφρον Ὑάκινθε, τῆς αἰωνίου ζωῆς, μανικῶς ἐφιέμενος, τῆς προσκαίρου κρείττονι, λογισμῷ κατεφρόνησας, καὶ ὑπομείνας καθάπερ ἄσαρκος, τὴν τῶν μαστίγων φρικτὴν ἐπίτασιν, κατετραυμάτισας, ὄφιν τὸν ἀρχέκακον· ὅθεν σαφῶς, ὑπεδέξω στέφανον, νίκης ἀμάραντον.

Μάρτυς θεόφρον Ὑάκινθε, ἀκολουθήσας Χριστῷ, τῷ τῆς κτίσεως μέδοντι, ὡς ἐνστερνισάμενος, τὸν αὐτοῦ θεῖον ἔρωτα, ἐκαλλωπίσθης Μαρτύρων στίγμασι, καὶ ὡραιόμορφος ἐξεδήμησας, λῆξιν πρὸς ἄφθαρτον, πρὸς σκηνὴν οὐράνιον, ἔνθα τρυφῆς, τῆς ὑπὲρ κατάληψιν, ὑπάρχεις μέτοχος.

Μάρτυς θεόφρον Ὑάκινθε, τὰς βασιλείους τιμάς, νουνεχῶς ἀπωσάμενος, καὶ τρυφὴν ἐπίγειον, εὐσεβῶς παρωσάμενος, τοῦ Βασιλέως ἀνεζωγράφησας, ἐν τῇ σαρκί σου πάθος τὸ ἄχραντον, καὶ ἀναδέδειξαι, τῆς αὐτοῦ ἐγέρσεως θεῖος υἱός· ὅθεν σε γεραίρομεν, ἀγαλλιώμενοι.

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Τῷ ἔρωτι τοῦ Κυρίου, τὴν ψυχὴν ἀστέκτως πυρπολούμενος, ἐν Μάρτυσι περιφανὴς ἀνεδείχθης, Ὑάκινθε μακάριε· ἐν ἀλλοτρίῳ γὰρ σώματι καθάπερ, τῶν μαστίγων ὑπενεγκὼν τὰς ὀδύνας, ὡς ἐν παραδείσῳ τρυφῆς, ἐν εἱρκτῇ ζοφερᾷ ἐνεκαρτέρησας, καὶ ἐν αὐτῇ ἀπόσιτος διήνυσας, τὸν δρόμον τοῦ ἐνδόξου μαρτυρίου σου. Ὅθεν Χριστῷ παριστάμενος, τῷ ἀθλοθέτῃ εὐκλεῶς, ὑπὲρ ἡμῶν ἀπαύστως ἱκέτευε, τῶν τελούντων ἐν ὕμνοις τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ Ὠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ κγ΄ Ἀπριλίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Τῆς Καππαδοκίας ἄνθος τερπνόν, καὶ τῆς Ἐκκλησίας, ἐγκαλλώπισμα θεαυγές, Ὑάκινθε ὤφθης, ἀπόσιτος τελέσας, ὠμότητι τυράννων, τὴν μαρτυρίαν σου.

Δίστιχον.

Κύριλλος Ὑάκινθον τὸν ἀθλοφόρον
Ἔστεψεν ὡς στέμμασι καινοῖς ἐν ὕμνοις.